ὀρχὴν παρεσκεύακα σήμερον ὡς δεξόμενος Ἀρχίαν καὶ
παρέξων ἐν οἴνῳ καὶ μέθῃ τοῖς ἀνδράσιν εὐχείρωτον.'
'ἄριστα μὲν οὖν,' εἶπον 'ὦ Φυλλίδα, καὶ πειράθητι πάντας
ἢ ⟨τούς γε⟩ πλείους εἰς ταὐτὸ τῶν ἐχθρῶν συναγαγεῖν.'
'ἀλλ' οὐ ῥᾴδιον,' ἔφη 'μᾶλλον δ' ἀδύνατον· ὁ γὰρ Ἀρχίας
ἐλπίζων τινὰ τῶν ἐν ἀξιώματι γυναικῶν ἀφίξεσθαι τηνι-
καῦτα πρὸς αὐτὸν οὐ βούλεται παρεῖναι τὸν Λεοντίδην.
ὥσθ' ἡμῖν δίχα διαιρετέον αὐτοὺς ἐπὶ τὰς οἰκίας· Ἀρχίου
D γὰρ ἅμα καὶ Λεοντίδου προκαταληφθέντων οἶμαι τοὺς
ἄλλους ἐκποδὼν ἔσεσθαι φεύγοντας ἢ μενεῖν μεθ' ἡσυχίας
ἀγαπῶντας ἄν τις διδῷ τὴν ἀσφάλειαν.' 'οὕτως' ἔφην
'ποιήσομεν. ἀλλὰ τί πρᾶγμα τούτοις πρὸς Θεόκριτόν
ἐστιν, ὑπὲρ οὗ διαλέγονται;' καὶ ὁ Φυλλίδας 'οὐ σαφῶς'
εἶπεν ⟨'ἔχω λέγειν⟩ οὐδ' ὡς ἐπιστάμενος, ἤκουον δὲ
σημεῖα καὶ μαντεύματα δυσχερῆ καὶ χαλεπὰ προτεθεσπί-
σθαι τῇ Σπάρτῃ.' . . . Φειδόλαος ὁ ⟨Ἁλιάρ⟩τιος ἀπαν-
τήσας 'μικρόν' εἶπεν 'ὑμᾶς ἐνταῦθα περιμεῖναι ⟨παρα-
καλεῖ⟩ Σιμμίας· ἐντυγχάνει γὰρ ἰδίᾳ Λεοντίδῃ περὶ Ἀμφι-
E θέου παραιτούμενος [μεῖναι] αὐτὸν διαπράξασθαι φυγὴν
ἀντὶ θανάτου τῷ ἀνθρώπῳ.'

5. Καὶ ὁ Θεόκριτος 'εἰς καιρόν' ἔφη 'καὶ ὥσπερ ἐπί-
τηδες· καὶ γὰρ ἐβουλόμην πυθέσθαι, τίν' ἦν τὰ εὑρεθέντα
καὶ τίς ὅλως ἡ ὄψις τοῦ Ἀλκμήνης τάφου παρ' ὑμῖν ἀνοιχ-
θέντος, εἰ δὴ παρεγένου καὶ αὐτός, ὅτε πέμψας Ἀγησί-
λαος εἰς Σπάρτην τὰ λείψανα μετεκόμιζε.' καὶ ὁ Φειδό-
λαος 'οὐ γάρ' ἔφη 'παρέτυχον, καὶ πολλὰ δυσανασχετῶν
καὶ ἀγανακτῶν πρὸς τοὺς πολίτας ἐγκατελείφθην ὑπ'

4 add. Wil. 10 μένειν Ω corr. edd. 14 add. Wy. 15 προστίθεσθαι Ω corr. Emp. 16 lac. 107 litt. E 81 B; ⟨ἐν τούτῳ δὲ τοῦ Θεοκρίτου πρὸς ἡμᾶς ἐπανελθόντος⟩ suppl. Amyot Ἁλ. Amyot τιος Ω 17 περιμείνασι Ω corr. Xyl. add. Klaffenbach cl. 470, 24 18 ἰδ. Λ. Re. διὰ Λεοντίδην Ω 19 del. Si. cf. v. 17 αὐτὸν Si. τὸ Ω 24 εἰ δὴ Ald.[2] ἤδη Ω



αὐτῶν. εὑρέθη δ' οὖν . . . . σώματος, ψέλλιον δὲ χαλκοῦν F
οὐ μέγα καὶ δύ' ἀμφορεῖς κεραμεοῖ γῆν ἔχοντες ἐντὸς ὑπὸ
χρόνου λελιθωμένην ἤδη καὶ συμπεπηγυῖαν, ⟨ἐπάνω δὲ⟩
τοῦ μνήματος ⟨ἔκειτο⟩ πίναξ χαλκοῦς ἔχων γράμματα
πολλὰ θαυμαστὸν ὡς παμπάλαια· γνῶναι γὰρ ἐξ αὐτῶν
οὐδὲν παρεῖχε καίπερ ἐκφανέντα τοῦ χαλκοῦ καταπλυθέν-
τος, ἀλλ' ἴδιός τις ὁ τύπος καὶ βαρβαρικὸς τῶν χαρακτή-
ρων ἐμφερέστατος Αἰγυπτίοις· διὸ καὶ Ἀγησίλαος, ὡς
ἔφασαν, ἐξέπεμψεν ἀντίγραφα τῷ βασιλεῖ δεόμενος δεῖξαι
τοῖς ἱερεῦσιν, εἰ ξυνήσουσιν. ἀλλὰ περὶ τούτων μὲν ἴσως
ἂν ἔχοι τι καὶ Σιμμίας ἡμῖν ἀπαγγεῖλαι,| κατ' ἐκεῖνον τὸν 578
χρόνον ἐν Αἰγύπτῳ πολλὰ τοῖς ἱερεῦσι διὰ φιλοσοφίαν
συγγενόμενος. Ἁλιάρτιοι δὲ τὴν μεγάλην ἀφορίαν καὶ τὴν
ἐπίβασιν τῆς λίμνης οὐκ ἀπὸ ταὐτομάτου γενέσθαι νο-
μίζουσιν, ἀλλὰ μήνιμα τοῦ τάφου τοῦτο περιελθεῖν ἀνα-
σχομένους ὀρυττόμενον'. καὶ ὁ Θεόκριτος μικρὸν διαλιπὼν
'ἀλλ' οὐδ' αὐτοῖς' ἔφη 'Λακεδαιμονίοις ἀμήνιτον ἔοικεν
εἶναι τὸ δαιμόνιον, ὡς προδείκνυσι τὰ σημεῖα περὶ ὧν
ἄρτι Λυσανορίδας ἡμῖν ἐκοινοῦτο· καὶ νῦν μὲν ἄπεισιν
εἰς Ἁλίαρτον ἐπιχώσων αὖθις τὸ σῆμα καὶ χοὰς ποιησό-
μενος Ἀλκμήνῃ καὶ Ἀλέῳ κατὰ δή τινα χρησμόν, ἀγνοῶν B
τὸν Ἄλεον ὅστις ἦν· ἐπανελθὼν δ' ἐκεῖθεν οἷός ἐστι
τὸν Δίρκης ἀναζητεῖν τάφον ἄγνωστον ὄντα τοῖς Θη-
βαίοις πλὴν τῶν ἱππαρχηκότων. ὁ γὰρ ἀπαλλαττόμε-
νος τὸν παραλαμβάνοντα τὴν ἀρχὴν μόνος ἄγων μόνον
ἔδειξε νύκτωρ, καί τινας ἐπ' αὐτῷ δράσαντες ἀπύρους

19 sqq. v. Lys. 28

1 lac. 40 litt. E 33 B; ⟨λίθος ἀντὶ τοῦ⟩ suppl. Wil. ex Antonin. Lib. 33 ψέλλι B 2 ἀμφορέες κεράμειοι Ω corr. Bern 3 lac 15 litt. E 14 B; suppl. Bern. 4 lac. 9 litt. E 8 B; suppl. Re. χάλκεος Ω corr. Bern. 5 θαυμαστὰ Ω corr. Bern. 6 οὐδὲ Ω corr. Leon. 9 ἀντιγραφὰς Ω corr. Re. 12 ἐν Αἰγ. om. B 19 μὲν om. B 21 Ἀλέῳ Duebn. ἄλεον Ω 22 τὸν B τὸ E 26 τινες Ω corr. Ald.[2] ἀπείρους Ω corr. Ald.[2]

γὰρ ἔγνων τὸν ἄνθρωπον.' 'εἰκότως γ',' εἶπεν ὁ Σιμμίας
'ὦ Θεόκριτε· νέος γὰρ ὢν κομιδῇ ⟨κατέστρεψε τὸν βίον⟩
καὶ Σωκράτους δεηθεὶς ταφῆναι παρὰ Λαμπροκλέα τὸν
Σωκράτους υἱόν, ⟨ὀλίγ⟩αις πρότερον ἡμέραις αὐτοῦ τεθνη-
κότα, φίλον καὶ ἡλικιώτην γενόμενον. οὗτος οὖν ποθῶν
γνῶναι τὸ Σωκράτους δαιμόνιον ἣν ἔχει δύναμιν, ἅτε δὴ
νέος οὐκ ἀγεννὴς ἄρτι γεγευμένος φιλοσοφίας, ἐμοὶ καὶ
Κέβητι κοινωσάμενος μόνοις εἰς Τροφωνίου κατῆλθε δρά-
σας τὰ νομιζόμενα περὶ τὸ μαντεῖον. ἐμμείνας δὲ δύο B
νύκτας κάτω καὶ μίαν ἡμέραν, τῶν πολλῶν ἀπεγνωκότων
αὐτὸν ἤδη καὶ τῶν οἰκείων ὀδυρομένων, πρωὶ μάλα φαι-
δρὸς ἀνῆλθε· προσκυνήσας δὲ τὸν θεόν, ὡς πρῶτον διέ-
φυγε τὸν ὄχλον, διηγεῖτο ἡμῖν θαυμάσια πολλὰ καὶ ἰδεῖν
καὶ ἀκοῦσαι. (22.) ἔφη δὲ καταβὰς εἰς τὸ μαντεῖον περι-
τυχεῖν σκότῳ πολλῷ τὸ πρῶτον, εἶτ' ἐπευξάμενος κεῖσθαι
πολὺν χρόνον οὐ μάλα συμφρονῶν ἐναργῶς εἴτ' ἐγρήγορεν
εἴτ' ὀνειροπολεῖ· πλὴν δόξαι γε τῆς κεφαλῆς ἅμα ψόφῳ
προσπεσόντι πληγείσης τὰς ῥαφὰς διαστάσας μεθιέναι τὴν
ψυχήν. ὡς δ' ἀναχωροῦσα κατεμίγνυτο πρὸς ἀέρα διαυγῆ
καὶ καθαρὸν ἀσμένη, πρῶτον μὲν ἀναπνεῦσαι τότε δοκεῖν
διὰ χρόνου συχνοῦ τεινομένην τέως καὶ πλείονα γίγνε- C
σθαι τῆς πρότερον ὥσπερ ἱστίον ἐκπεταννύμενον, ἔπειτα
κατακούειν ἀμαυρῶς ῥοίζου τινὸς ὑπὲρ κεφαλῆς περιελαυ-
νομένου φωνὴν ἡδεῖαν ἱέντος. ἀναβλέψας δὲ τὴν μὲν γῆν
οὐδαμοῦ καθορᾶν, νήσους δὲ λαμπομένας μαλακῷ πυρὶ
κατ' ἀλλήλων ἐξαμειβούσας ἄλλην ἄλλοτε χρόαν ὥσπερ
βαφὴν ἅμα τῷ φωτὶ ποικιλλομένῳ κατὰ τὰς μεταβολάς.
φαίνεσθαι δὲ πλήθει μὲν ἀναρίθμους μεγέθει δ' ὑπερ-

2 add. Drexler cf. v. Thes. 19 ἐτελεύτησε Ald.² (hiatus)
3 καὶ . . . κράτους (lac. 3 litt.) E κ. τοῦ σ. B  4 add. Basil.
12 διέφευγε Ω corr. Bern.  17 ὠνειροπόλει Ω corr. Stegm.
21 τειν.] συντειν. Re. πνιγ. Po. τειν. = ἐντειν. (propter hiatum) Schw.  τέως] ὥστε Schw.  πλείονα parum intellegitur. παχίονα?  22 ἐκτεταννυμένην E -ον B corr. Basil.  26 καταλλήλως ⟨δ'⟩ ('deinceps') Arnim  27 ἅμα Wy. ἄγειν Ω ἀεὶ Wil.



φυεῖς, οὐκ ἴσας δὲ πάσας ἀλλ' ὁμοίως κυκλοτερεῖς· οἴεσθαι
δὲ ταύταις τὸν αἰθέρα κύκλῳ φερομέναις ὑπορροιζεῖν
⟨λιγυρῶς⟩· εἶναι γὰρ ὁμολογουμένην τῇ τῆς κινήσεως
D λειότητι τὴν πραότητα τῆς φωνῆς ἐκείνης ἐκ πασῶν συνηρ-
μοσμένης. διὰ μέσου δ' αὐτῶν θάλασσαν ἢ λίμνην ὑπο-
κεχύσθαι τοῖς χρώμασι διαλάμπουσαν διὰ τῆς γλαυκό-
τητος ἐπιμιγνυμένοις· καὶ τῶν νήσων ὀλίγας μὲν ⟨δι⟩εκ-
πλεῖν κατὰ πόρον καὶ διακομίζεσθαι πέραν τοῦ ῥεύματος,
ἄλλας δὲ πολλὰς . . . . ἐφέλκεσθαι τῇ . . . . σχεδὸν ὑπο-
φερομένης. εἶναι δὲ τῆς θαλάσσης πῇ μὲν πολὺ βάθος
κατὰ νότον μάλιστα, ⟨πῇ⟩ δ' ἀραιὰ τενάγη καὶ βραχέα,
πολλαχῇ δὲ καὶ ὑπερχεῖσθαι καὶ ἀπολείπειν αὖθις οὐ
μεγάλας ἐκβολὰς λαμβάνουσαν, καὶ τῆς χρόας τὸ μὲν
E ἄκρατον καὶ πελάγιον, τὸ δ' οὐ καθαρὸν ἀλλὰ συγκεχυ-
μένον καὶ λιμνῶδες. τῶν δὲ ῥοθίων τὰς νήσους ἅμα περι-
γινομένας ἐπανάγειν· οὐ μὴν εἰς ταὐτὸ τῇ ἀρχῇ συν-
άπτειν τὸ πέρας οὐδὲ ποιεῖν κύκλον, ἀλλ' ἡσυχῇ παραλ-
λάσσειν τὰς ἐπιβολὰς ἕλικα ποιούσας μίαν ἐν τῷ περι-
στρέφεσθαι. τούτων δὲ πρὸς τὸ μέσον μάλιστα τοῦ
περιέχοντος καὶ μέγιστον ἐγκεκλίσθαι τὴν θάλασσαν
ὀλίγῳ τῶν ὀκτὼ μερῶν τοῦ παντὸς ἔλαττον, ὡς αὐτῷ
F κατεφαίνετο· δύο δ' αὐτὴν ἔχειν ἀναστομώσεις πυρὸς ἐμ-
βάλλοντας ἐναντίους ποταμοὺς δεχομένας, ὥστ' ἐπὶ πλεῖ-
στον ἀνακοπτομένην κοχλάζειν καὶ ἀπολευκαίνεσθαι τὴν
γλαυκότητα. ταῦτα μὲν οὖν ὁρᾶν τερπόμενος τῇ θέᾳ·

3 lac. 7 litt. E 9 B suppl. Wil.  7 -μένοις (ης supra) B  add. Arnim
9 lac. 10 litt. Ω ⟨τούτῳ συν⟩εφ. suppl. Arnim  lac. 43 litt. E
25 B; τῇ⟨ς θαλάσσης καὶ αὐτῆς κύκλῳ⟩ Arnim  11 add. Bern.
12 καὶ¹ om. E  ἀπολιπεῖν Ω corr. Bern.  13 τῆς Bern.
15 περαινομένας Ω corr. Si.  16 οὐ μὴν Arnim
τὰς Ω  19 τούτων
οὐδὲν Ω  16/17 ταὐτὸ συν. τὸ πέρ. τῇ ἀρχῇ B  ... περαιουμένας (hoc
pendet a 20 θάλ.  (15 τὸν δὲ ῥόμβον τὰς . . . περαιουμένας (hoc pendet a 20 θάλ.) . . . 16 οὐ μὴν . . . 19 τούτου (i. e. τοῦ ῥόμβου) Arnim)
iam Wy.)
21 αὐτὸ Ω corr. Leon.  22 ἐμβαλόντας Ω corr. Bern.
23 ὥστ' Bern. ὡς Ω  24 κολάζειν Ω corr. Re.

γονὰς δι' Ἐπαμεινώνδαν. ἔστι γάρ τι γιγνόμενον ἰδίᾳ περὶ τὰς ταφὰς τῶν Πυθαγορικῶν ὅσιον, οὗ μὴ τυχόντες οὐ δοκοῦμεν ἀπέχειν τὸ μακαριστὸν καὶ οἰκεῖον τέλος. ὡς οὖν ἔγνωμεν ἐκ τῶν ὀνείρων τὴν Λύσιδος τελευτήν (διαγιγνώσκομεν δὲ σημείῳ τινὶ φαινομένῳ κατὰ τοὺς ὕπνους, F εἴτε τεθνηκότος εἴτε ζῶντος εἴδωλόν ἐστιν), ἔννοια πολλοῖς ἐπεισῆλθεν, ὡς ἐπὶ ξένης ὁ Λῦσις ἄλλως κεκήδευται καὶ κινητέος ἐστὶν ἡμῖν ὅπως ἐκεῖ μεταλάχῃ τῶν νομιζομένων. τοιαύτῃ δὲ διανοίᾳ παραγενόμενος καὶ πρὸς τὸν τάφον εὐθὺς ὑπὸ τῶν ἐγχωρίων ὁδηγηθεὶς ἑσπέρας ἤδη χοὰς ἐχεόμην ἀνακαλούμενος τὴν Λύσιδος ψυχὴν κατελθεῖν ἀποθεσπίσουσαν ὡς χρὴ ταῦτα πράσσειν. προϊούσης δὲ τῆς νυκτὸς εἶδον μὲν οὐδέν, ἀκοῦσαι δὲ φωνῆς ἔδοξα τὰ ἀκίνητα μὴ κινεῖν· ὁσίως γὰρ ὑπὸ τῶν φίλων κεκηδεῦσθαι τὸ Λύσιδος σῶμα, τὴν δὲ ψυχὴν ἤδη κεκριμένην ἀφεῖσθαι πρὸς ἄλλην γένεσιν ἄλλῳ δαίμονι συλλαχοῦσαν. καὶ μέντοι καὶ συμβαλὼν ἕωθεν Ἐπαμεινώνδᾳ | 586 καὶ τὸν τρόπον ἀκούσας ᾧ θάψειε Λῦσιν ἐπέγνων ὅτι καλῶς ἄχρι τῶν ἀπορρήτων πεπαιδευμένος ὑπ' ἐκείνου τἀνδρὸς εἴη καὶ χρῷτο ταὐτῷ δαίμονι πρὸς τὸν βίον, εἰ μὴ κακὸς ἐγὼ τεκμήρασθαι τῷ πλῷ τὸν κυβερνήτην. μυρίαι μὲν γὰρ ἀτραποὶ βίων, ὀλίγαι δ' ἃς δαίμονες ἀνθρώπους ἄγουσιν.' ὁ μὲν οὖν Θεάνωρ ταῦτ' εἰπὼν τῷ Ἐπαμεινώνδᾳ προσέβλεψεν, οἷον ἐξ ὑπαρχῆς ἀναθεώμενος αὐτοῦ τὴν φύσιν ⟨καὶ⟩ τὸ εἶδος.

17. Ἐν τούτῳ δ' ὁ μὲν ἰατρὸς προσελθὼν περιέλυσε τοῦ Σιμμίου τὸν ἐπίδεσμον ὡς θεραπεύσων τὸ σῶμα, Φυλ- B λίδας δ' ἐπεισελθὼν μεθ' Ἱπποσθενείδου καὶ κελεύσας ἐμὲ καὶ Χάρωνα καὶ Θεόκριτον ἐξαναστῆναι προσῆγεν

26 sqq. cf. v. Pel. 8

1 -ώνδα E   γενόμ. Ω corr. Stegm.   20 ταὐτῷ] καλῷ dub. Re.   21 μυρ. Richards cf. 770 c εὑρεῖαι Ω   24 ἀναθέμενος Ω corr. Ald.[2]   25 add. Ald.[2]



εἴς τινα γωνίαν τοῦ περιστύλου, σφόδρα τεταραγμένος ὡς διεφαίνετο τῷ προσώπῳ. κἀμοῦ 'μή τι καινότερον, ὦ Φυλλίδα, προσπέπτωκεν;' εἰπόντος 'ἐμοὶ μὲν οὐδέν' ἔφη 'καινόν, ὦ Καφισία· καὶ γὰρ προῄδειν καὶ προύλεγον ὑμῖν τὴν Ἱπποσθενείδου μαλακίαν δεόμενος μὴ ἀνακοινοῦσθαι μηδὲ παραλαμβάνειν εἰς τὴν πρᾶξιν'. ἐκπλαγέντων δὲ τὸν λόγον ἡμῶν ὁ Ἱπποσθενείδας 'μὴ λέγε πρὸς θεῶν,' ἔφη 'Φυλλίδα, ταῦτα μηδὲ τὴν προπέτειαν εὐτολμίαν οἰόμενος ἀνατρέψῃς καὶ ἡμᾶς καὶ τὴν πόλιν, ἀλλ' ἔασον ἀσφαλῶς, εἴπερ εἵμαρται, κατελθεῖν τοὺς ἄνδρας'. καὶ ὁ Φυλλίδας παροξυνόμενος 'εἰπέ μοι,' φησίν 'ὦ Ἱπποσθενείδα, πό- C σους οἴει μετέχειν τῶν ἀπορρήτων εἰς τὴν πρᾶξιν ἡμῖν;' 'ἐγὼ μέν' εἶπεν 'οὐκ ἐλάσσους ἢ τριάκοντα γιγνώσκω.' 'τί οὖν' ἔφη 'τοσούτων τὸ πλῆθος ὄντων τὰ πᾶσι δόξαντα μόνος ἀνῄρηκας καὶ διακεκώλυκας ἐκπέμψας ἱππέα πρὸς τοὺς ἄνδρας ἤδη καθ' ὁδὸν ὄντας, ἀναστρέφειν κελεύσας καὶ μὴ κατατεῖναι σήμερον, ὅτε τῶν πρὸς τὴν κάθοδον αὐτοῖς τὰ πλεῖστα καὶ τὸ αὐτόματον συμπαρεσκεύασεν.' εἰπόντος δὲ ταῦτα τοῦ Φυλλίδου πάντες μὲν διεταράχθημεν, ὁ δὲ Χάρων τῷ Ἱπποσθενείδᾳ πάνυ σκληρῶς τὴν D ὄψιν ἐνερείσας 'ὦ μοχθηρέ' εἶπεν 'ἄνθρωπε, τί δέδρακας ἡμᾶς;' 'οὐδέν' ἔφη 'δεινόν' ὁ Ἱπποσθενείδας, 'ἐὰν ἀνεὶς τὴν τραχύτητα τῆς φωνῆς ἀνδρὸς ἡλικιώτου καὶ πολιὰς παραπλησίως ἔχοντος λογισμῶν μετάσχῃς. εἰ μὲν γὰρ εὐψυχίαν φιλοκίνδυνον ἀποδείξασθαι τοῖς πολίταις καὶ θυμὸν ὀλιγωροῦντα τοῦ βίου προῃρήμεθα, Φυλλίδα, πολὺ τὸ τῆς ἡμέρας μῆκος ἔτι, καὶ τὴν ἑσπέραν μὴ περιμένωμεν ἀλλ' ἤδη βαδίζωμεν ἐπὶ τοὺς τυράννους τὰ ξίφη λαβόντες· ἀποκτιννύωμεν, ἀποθνήσκωμεν, ἀφειδῶμεν ἑαυτῶν. εἰ δὲ ταῦτα μὲν οὔτε δρᾶσαι χαλεπὸν οὔτε παθεῖν, ἐξελέσθαι E δὲ τὰς Θήβας ὅπλων τοσούτων πολεμίων περιεχόντων καὶ τὴν Σπαρτιατῶν φρουρὰν ἀπώσασθαι δυσὶ νεκροῖς ἢ τρισὶν

17 ὅτι B   31 ὁπλιτῶν Wil.

θεῶν ἅπασι πρὸς δαιμόνων ἐπισκήπτων· εἰ φανείην ἐγὼ
πονηρὸς περὶ ὑμᾶς, ἀποκτείνατε, μὴ φείσησθ' ἡμῶν· τὸ
δὲ λοιπόν, ὦ ἄνδρες ἀγαθοί, πρὸς τὸ συμπεσὸν ἀντι-
τάξασθε, μὴ πρόησθε τὰ σώματα διαφθεῖραι τοῖς
C ἐχθίστοις ἀνάνδρως καὶ ἀκλεῶς, ἀλλ' ἀμύνασθε τὰς
ψυχὰς ἀηττήτους τῇ πατρίδι φυλάττοντες.' ταῦτα τοῦ
Χάρωνος λέγοντος τὸ μὲν φρόνημα καὶ τὴν καλοκἀγαθίαν
ἐθαυμάζομεν, πρὸς δὲ τὴν ὑποψίαν ἠγανακτοῦμεν καὶ
ἀπάγειν ἐκελεύομεν τὸν παῖδα. 'τὸ δ' ὅλον' εἶπεν ὁ Πελο-
πίδας 'οὐδ' εὖ βεβουλεῦσθαι δοκεῖς ἡμῖν, ὦ Χάρων, μὴ
μεταστησάμενος εἰς οἰκίαν ἑτέραν τὸν υἱόν· τί γὰρ αὐτὸν
δεῖ κινδυνεύειν μεθ' ἡμῶν ἐγκαταλαμβανόμενον; καὶ νῦν
ἐκπεμπτέος, ἵν' ἡμῖν, ἐάν τι πάσχωμεν, εὐγενὴς ὑπο-
τρέφηται τιμωρὸς ἐπὶ τοὺς τυράννους.' 'οὐκ ἔστιν' εἶπεν
ὁ Χάρων, 'ἀλλ' αὐτοῦ παραμενεῖ καὶ κινδυνεύσει μεθ'
D ὑμῶν· οὐδὲ γὰρ τούτῳ καλὸν ὑποχείριον γενέσθαι τοῖς
ἐχθροῖς, ἀλλὰ τόλμα παρ' ἡλικίαν, ὦ παῖ, γενόμενος ἄθ-
λων ἀναγκαίων καὶ κινδύνευε μετὰ πολλῶν καὶ ἀγαθῶν
πολιτῶν ὑπὲρ ἐλευθερίας καὶ ἀρετῆς· πολλὴ δ' ἐλπὶς
ἔτι λείπεται, καί πού τις ἐφορᾷ θεῶν ἡμᾶς ἀγωνιζομένους
περὶ τῶν δικαίων.'

28. Δάκρυα πολλοῖς ἐπῆλθεν ἡμῶν, ὦ Ἀρχίδαμε, πρὸς
τοὺς λόγους τἀνδρός, αὐτὸς δ' ἄδακρυς καὶ ἄτεγκτος
ἐγχειρίσας Πελοπίδᾳ τὸν υἱὸν ἐχώρει διὰ θυρῶν δε-
ξιούμενος ἕκαστον ἡμῶν καὶ παραθαρρύνων. ἔτι δὲ μᾶλλον
ἂν ἠγάσω τοῦ παιδὸς αὐτοῦ τὴν φαιδρότητα καὶ τὸ ἀδεὲς
E πρὸς τὸν κίνδυνον, ὥσπερ τοῦ Νεοπτολέμου, μήτ' ὠχριά-
σαντος μήτ' ἐκπλαγέντος, ἀλλ' ἕλκοντος τὸ ξίφος τοῦ
Πελοπίδου καὶ καταμανθάνοντος. ⌈ἐν τούτῳ †Κηφισοδώρῳ

1 πρός τε δαιμ Re. asyndeton def. Wil. 3 ὦ] ὡς Kron. συμπόσιον Ω corr. Re. 5 αἰσχίστοις Ω corr. Wy. 22 ἡμ. om. B 23 αὐτὸς Re. οὗτος Ω 26 ἀδαὲς Ω corr. Basil. 29 Κηφισόδωρος ⟨ὁ⟩ Διο⟨γεί⟩τονος Wil. Sykutris ('nomina Thebis frequentia')



Διότονος, εἷς τῶν φίλων, παρῆν πρὸς ἡμᾶς ξίφος ἔχων
καὶ θώρακα σιδηροῦν ὑπενδεδυμένος καὶ πυθόμενος τὴν
Χάρωνος ὑπ' Ἀρχίου μετάπεμψιν ᾐτιᾶτο τὴν μέλλησιν
ἡμῶν καὶ παρώξυνεν εὐθὺς ἐπὶ τὰς οἰκίας βαδίζειν· φθή-
σεσθαι γὰρ ἐμπεσόντας αὐτοῖς, εἰ δὲ μή, βέλτιον εἶναι
προελθόντας ἐν ὑπαίθρῳ συμπλέκεσθαι πρὸς [ἀλλήλους]
ἀσυντάκτους καὶ σποράδας ἢ μένειν ἐν οἰκίσκῳ καθειρ-
ξαντας αὐτοὺς ὥσπερ σμῆνος ἐξαιρεθησομένους ὑπὸ τῶν F
πολεμίων.⸥ ἐνῆγε δὲ καὶ ὁ μάντις Θεόκριτος, ὡς τῶν
ἱερῶν σωτηρίων καὶ καλῶν καὶ πρὸς ἀσφάλειαν ἐχεγγύων
αὐτῷ γεγονότων. (29.) ὁπλιζομένων δ' ἡμῶν καὶ συν-
ταττομένων αὖθις ἀφικνεῖται Χάρων ἱλαρῷ τῷ προσώπῳ
καὶ μειδιῶν καὶ προσβλέπων εἰς ἡμᾶς θαρρεῖν ἐκέλευεν,
ὡς δεινοῦ μηδενὸς ὄντος ἀλλὰ τῆς πράξεως ὁδῷ βαδι-
ζούσης. 'ὁ γὰρ Ἀρχίας' ἔφη 'καὶ ὁ Φίλιππος ὡς ἤκουσαν
ἥκειν ἐμὲ κεκλημένον, | ἤδη βαρεῖς ὑπὸ τῆς μέθης ὄντες 596
καὶ συνεκλελυμένοι τοῖς σώμασι τὰς ψυχάς, μόλις δι-
αναστάντες ἔξω προῆλθον ἐπὶ τὰς θύρας. εἰπόντος δὲ τοῦ
Ἀρχίου 'φυγάδας, ὦ Χάρων, ἀκούομεν ἐν τῇ πόλει κρύ-
πτεσθαι παρεισελθόντας' οὐ μετρίως ἐγὼ διαταραχθεὶς
'ποῦ δ'' εἶπον 'εἶναι λέγονται καὶ τίνες;' 'ἀγνοοῦμεν' ὁ
Ἀρχίας εἶπε 'καί σε τούτου χάριν ἐλθεῖν ἐκελεύσαμεν,
εἴ δή τι τυγχάνοις σαφέστερον ἀκηκοώς.' κἀγὼ μικρὸν
ὥσπερ ἐκ πληγῆς ἀναφέρων τὴν διάνοιαν ἐλογιζόμην
λόγον εἶναι τὴν μήνυσιν οὐ βέβαιον, οὐδ' ὑπὸ τῶν συν-
ειδότων ἐξενηνέχθαι τὴν πρᾶξιν οὐδενός· οὐ γὰρ ⟨ἂν⟩ B
ἀγνοεῖν τὴν οἰκίαν αὐτούς, εἴ τις εἰδὼς ἀκριβῶς ἐμήνυεν,
ἄλλως δ' ὑποψίαν ἢ λόγον ἄσημον ἐν τῇ πόλει περιφερό-
μενον ἥκειν εἰς ἐκείνους. εἶπον οὖν πρὸς αὐτὸν ὅτι 'ζῶντος
μὲν Ἀνδροκλείδου πολλάκις ἐπίσταμαι φήμας τοιαύτας

11 sqq. cf. v. Pel 10 29 cf. Xen. H. G. III 5, 1 v. Pel. 5. 6

4 εὐθὺς om. B 6 del. Madv. (dub. iam Xyl.) 12 αὐθ. Turn. αὐτοῖς Ω 24 ἐκ πλ. Turn. ἐκπλαγεὶς Ω 26 add. Wy.

B ἀμυνόμενον δὲ τοῖς παρακειμένοις ἐκπώμασιν ὁ Λυσί-
θεος ἀπὸ τῆς κλίνης χαμαὶ καταβαλὼν ἀνεῖλε. τὸν δὲ
Καβίριχον ἡμεῖς κατεπραΰνομεν ἀξιοῦντες μὴ τοῖς τυ-
ράννοις βοηθεῖν ἀλλὰ τὴν πατρίδα συνελευθεροῦν ἱερὸν
ὄντα καὶ τοῖς θεοῖς καθωσιωμένον ὑπὲρ αὐτῆς· ὡς δὲ καὶ
διὰ τὸν οἶνον οὐκ ἦν εὐπαρακόμιστος τῷ λογισμῷ πρὸς
τὸ συμφέρον ἀλλὰ μετέωρος καὶ τεταραγμένος ἀνίστατο
καὶ τὸ δόρυ προεβάλλετο κατ' αἰχμήν, ὅπερ ἐξ ἔθους ἀεὶ
φοροῦσιν οἱ παρ' ἡμῖν ἄρχοντες, ἐγὼ μὲν ἐκ μέσου δια-
λαβὼν τὸ δόρυ καὶ μετεωρίσας ὑπὲρ κεφαλῆς ἐβόων ἀφεῖ-
C ναι καὶ σῴζειν ἑαυτόν, εἰ δὲ μή, πεπλήξεσθαι· Θεόπομ-
πος δὲ παραστὰς ἐκ δεξιῶν καὶ τῷ ξίφει πατάξας αὐτόν
'ἐνταῦθ'' ἔφη 'κεῖσο μετὰ τούτων, οὓς ἐκολάκευες· μὴ
γὰρ ἐν ἐλευθέραις στεφανώσαιο ταῖς Θήβαις μηδὲ θύ-
σειας ἔτι τοῖς θεοῖς, ἐφ' ὧν κατηράσω πολλὰ τῇ πατρίδι
πολλάκις ὑπὲρ τῶν πολεμίων εὐχόμενος.' πεσόντος δὲ τοῦ
Καβιρίχου τὸ μὲν ἱερὸν δόρυ Θεόκριτος παρὼν ἀνήρπασεν
ἐκ τοῦ φόνου, τῶν δὲ θεραπόντων ὀλίγους τολμήσαντας
ἀμύνασθαι διεφθείραμεν ἡμεῖς, τοὺς δ' ἡσυχίαν ἄγοντας
εἰς τὸν ἀνδρῶνα κατεκλείσαμεν οὐ βουλόμενοι διαπεσόντας
ἐξαγγεῖλαι τὰ πεπραγμένα, πρὶν εἰδέναι καὶ τὰ τῶν ἑταί-
D ρων εἰ καλῶς κεχώρηκεν.

32. Ἐπράχθη δὲ κἀκεῖνα τοῦτον τὸν τρόπον· ἔκοψαν
οἱ περὶ Πελοπίδαν τοῦ Λεοντίδου τὴν αὔλειον ἡσυχῇ προσ-
ελθόντες καὶ πρὸς τὸν ὑπακούσαντα τῶν οἰκετῶν ἔφασαν
ἥκειν Ἀθήνηθεν γράμματα τῷ Λεοντίδῃ παρὰ Καλλι-
στράτου κομίζοντες. ὡς δ' ἀπαγγείλας καὶ κελευσθεὶς
ἀνοῖξαι τὸν μοχλὸν ἀφεῖλε καὶ μικρὸν ἐνέδωκε τὴν θύραν,
ἐμπεσόντες ἀθρόοι καὶ ἀνατρέψαντες τὸν ἄνθρωπον ἵεντο
δρόμῳ διὰ τῆς αὐλῆς ἐπὶ τὸν θάλαμον. ὁ δ' εὐθὺς ἐπὶ

22 sqq. cf. v. Pel. 11

11 θέοπος Ω corr. Amyot 21 ἑτέρων Ω corr. Leon.
24 αὔλιον E



τὴν ἀλήθειαν ἐξενεχθεὶς τῇ ὑπονοίᾳ καὶ σπασάμενος τὸ
ἐγχειρίδιον ὥρμησε πρὸς ἄμυναν, ἄδικος μὲν ἀνὴρ καὶ E
τυραννικὸς εὔρωστος δὲ τῇ ψυχῇ καὶ κατὰ χεῖρα ῥωμα-
λέος· οὐ μὴν ἔγνω γε τὸν λύχνον καταβαλεῖν καὶ διὰ
σκότους συμμῖξαι τοῖς ἐπιφερομένοις, ἀλλ' ἐν φωτὶ καθ-
ορώμενος ὑπὸ τούτων ἅμα τῆς θύρας ἀνοιγομένης παίει
τὸν Κηφισόδωρον εἰς τὸν λαγόνα καὶ δευτέρῳ τῷ Πελο-
πίδᾳ συμπεσὼν μέγα βοῶν ἀνεκαλεῖτο τοὺς θεράποντας.
ἀλλ' ἐκείνους μὲν οἱ περὶ τὸν Σαμίδαν ἀνεῖργον οὐ παρα-
κινδυνεύοντας εἰς χεῖρας ἐλθεῖν ἀνδράσιν ἐπιφανεστάτοις
τῶν πολιτῶν καὶ κατ' ἀλκὴν διαφέρουσιν. ἀγὼν δ' ἦν τῷ
Πελοπίδᾳ πρὸς τὸν Λεοντίδην καὶ διαξιφισμὸς ἐν ταῖς
θύραις τοῦ θαλάμου στεναῖς οὔσαις καὶ τοῦ Κηφισοδώρου F
πεπτωκότος ἐν μέσαις αὐταῖς καὶ θνήσκοντος, ὥστε μὴ
δύνασθαι τοὺς ἄλλους προσβοηθεῖν. τέλος δ' ὁ ἡμέτερος
λαβὼν μὲν εἰς τὴν κεφαλὴν οὐ μέγα τραῦμα δοὺς δὲ πολλὰ
καὶ καταβαλὼν τὸν Λεοντίδην ἐπέσφαξε θερμῷ τῷ Κη-
φισοδώρῳ· καὶ γὰρ εἶδε πίπτοντα τὸν ἐχθρὸν ὁ ἀνὴρ καὶ
τῷ Πελοπίδᾳ τὴν δεξιὰν ἐνέβαλε καὶ τοὺς ἄλλους ἀσπα-
σάμενος ἅμ' ἵλεως ἐξέπνευσε. γενόμενοι δ' ἀπὸ τούτων
ἐπὶ τὸν Ὑπάτην τρέπονται καὶ τῶν θυρῶν ὁμοίως αὐτοῖς
ἀνοιχθεισῶν φεύγοντα τὸν Ὑπάτην ὑπὲρ τέγους τινὸς εἰς
τοὺς γείτονας ἀποσφάττουσιν.

33. Ἐκεῖθεν δὲ πρὸς ἡμᾶς ἠπείγοντο καὶ συμβάλλου- 598
σιν ἡμῖν ἔξωθεν παρὰ τὴν πολύστυλον. ἀσπασάμενοι δ'
ἀλλήλους καὶ συλλαλήσαντες ἐχωροῦμεν ἐπὶ τὸ δεσμω-
τήριον. ἐκκαλέσας ⟨δὲ τὸν⟩ ἐπὶ τῆς εἱρκτῆς ὁ Φυλλίδας
'Ἀρχίας' ἔφη 'καὶ Φίλιππος κελεύουσί σε ταχέως ἄγειν
ἐπ' αὐτοὺς Ἀμφίθεον.' ὁ δ' ὁρῶν καὶ τῆς ὥρας τὴν ἀτο-
πίαν καὶ τὸ μὴ καθεστηκότα λαλεῖν αὐτῷ τὸν Φυλλίδαν,
ἀλλὰ θερμὸν ὄντα τῷ ἀγῶνι καὶ μετέωρον, ὑπ[ε]ιδόμενος

9 σαμείδαν Ω cf. 465, 6 14 μέσοις αὐτοῖς Ω corr. Holwerda
21. 22 ἱππάτην Ω corr. Xyl. 27 lac. 8 litt. E 7 B suppl.
Turn. 31 del. Bern.